www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ
# ΟΝΟΥΦΡΙΟΝ
## ΤΟΝ ΑΙΓΥΠΤΙΟΝ

( οὗ ἡ μνήμη τῇ 12η Ἰουνίου )

* * *

* Ἅγιον Ὄρος Ἄθω * 1997 *

ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro



# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ & ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ ΟΝΟΥΦΡΙΟΝ ΤΟΝ ΑΙΓΥΠΤΙΟΝ

* * *

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς ΡΜΒ΄(142)*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾿ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπεν τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾿ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου, καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*εἶτα τό, Θεὸς Κύριος, καὶ τὸ τροπάριον*

*Ἦχος δ΄. Ὁ ὑψωθείς.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἀνατεθεὶς ἀπὸ σπαργάνων Κυρίῳ, καὶ φυτευθεὶς ἐν τῇ ἐρήμῳ ὡς φοῖνιξ, ἀγγέλων τὸ πολίτευμα ἐβίωσας σαρκί, ὅθεν χάριν εἴληφας, θεραπεύειν τὰς νόσους, θείαις σου ἐντεύξεσι, τῶν τιμώντων σε πόθῳ, διὸ βοῶμεν δίωκε ἡμῶν, πάθη ποικίλα, θεόφρον Ὀνούφριε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι, εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν, Δέσποινα ἐκ σοῦ, σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*ὁ Ν΄ ψαλμός*

Ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς, καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**μεθ᾿ ὃ ψάλλεται ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**

*"Ὀφρὺν ταπείνωσον, Ὀνούφριε, ἐχθρῶν μου. Ἀ(θανάσιος)".*

*Ὠιδὴ α΄. Ἦχος πλ.δ΄. Ἁρματηλάτην Φαραώ.*

Ὀφρὺν δαιμόνων μισοψύχων ὅσιε, ταχὺ ταπείνωσον, θείαις σου πρεσβείαις, πρὸς τὸν γλυκὺν Κύριον, Ὀνούφριε τρισόλβιε, τῆς ἐρήμου τὸ κλέος, ὅπως δοξάζω τὴν χάριν σου, ἀσκητῶν ἱκέτα εὐπάρεδρε.

Φρίττει τὸν βίον μελετῶν σου ἅπας τις, τὸν ὑπὲρ ἔννοιαν, καὶ θαυμάζει πλοῦτον, τῆς δοθείσης χάριτος, σοὶ ὅσιε Ὀνούφριε, δι᾿ ἧς γέγονας σκεῦος, τοῦ ὁδηγοῦντός σε Πνεύματος, Ὃ ὑπὲρ ἐμοῦ ἐξιλέωσαι.

Ῥήξας δεσμοὺς τοὺς φυσικοὺς Ὀνούφριε, ἀπὸ παιδὸς θαυμαστῶς, ὅρους ὑπερέβης, ἀνθρωπίνης φύσεως, ἀγγέλων ἐκμιμούμενος, πολιτείαν ἐν πᾶσιν, οὗς μιμηθῆναί με πρέσβευε, τὸν φιλόϋλόν τε καὶ γήϊνον.

*Θεοτοκίον*

Ὑπερετίμησας τὸ γένος Δέσποινα, τῶν γηγενῶν ἐν σαρκί, τὸν Δεσπότην πάντων, ὡς βροτὸν βαστάσασα, μεθόριον ὑπάρξασα, νοητῶν καὶ φθαρτῶν τε, καὶ ἀνεδείχθης μεσίτρια, τῶν ἁμαρτανόντων πρὸς Κύριον.

*ᾨδὴ γ'. Οὐρανίας ἁψῖδος.*

Νικητὴς παιδιόθεν, τοῦ πονηροῦ γέγονας, χάριτι τῇ σοὶ ἐκχυθείσῃ, πάτερ Ὀνούφριε, ὡς σκεῦος τίμιον, ἀνατεθεὶς τῷ Δεσπότῃ, Ὧι καλῶς καθάρας με, σύναψον δέομαι.

Τῆς βαθείας ἐρήμου, ἐσχατιὰς εἴληφας, μόνος τῷ Κυρίῳ σου μόνον, ἀεὶ εὐχόμενος, ὅθεν Ὀνούφριε, παρακαλῶ ἐκ ψυχῆς μου, προσευχῆς με ποίησον, ἐργάτην τίμιον.

Ἀφειδήσας σωφρόνως, τῶν ὑλικῶν Ὅσιε, εἴληφας τροφὴν ἐξ ἀγγέλων, ὡς ἀγγελόβιος, διὸ ἀξίωσον, κἀμὲ τῆς ὕλης μηδόλως, μεριμνᾷν ἀπόλαυσιν διὰ τὸν Κύριον.

*Θεοτοκίον*

Πλάτυνόν μου καρδίαν καὶ νοερὰν αἴσθησιν, ὅπως ἐμπλησθῶ νοημάτων, ἁγίων Πάναγνε, ἐν οἷς δυνήσομαι, τῷ σῷ Υἱῷ συναφθῆναι, καὶ ῥυσθῶ ὁ ἄθλιος, πάγης τοῦ δαίμονος.

Διάσωσον, σοὺς ὑμνητὰς Ὀνούφριε πάτερ, ἀπὸ πάσης ψυχοφθόρου ἐπιβουλῆς τοῦ ἐχθροῦ, καὶ λύτρωσαι τάχει ἡμᾶς, ταῖς ὁσίαις εὐχαῖς σου.

www.tezaurliturgic.ro


Ἐπίβλεψον ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.*

Ἐρήμου κλεινέ, καὶ θεοφόρε ἄνθρωπε, παθῶν μου πολλῶν, ἐρήμωσον τὸ σύστημα, σαῖς σεπταῖς δεήσεσι, πρὸς Δεσπότην τὸν ὑπεράγαθον, ἵνα ὑμνῶ σε θερμῶς, ὁ δοῦλός σου ὅσιε Ὀνούφριε.

*Ὠιδὴ δ'. Εἰσακήκοα, Κύριε.*

Ἐταπείνωσας Ὅσιε, βίῳ σου ἁγίῳ τὸν ὑπερήφανον, οὗ τὰς μύλας καταξίωσον, θλᾷν ἀεὶ τοὺς πόθῳ ἀνυμνοῦντάς σε.

Ἱερὸν ἔχων ἔργον σου, ἐν τῇ πανερήμῳ μνήμην Κυρίου σου, τὴν θεοῦσαν πάντα ἄνθρωπον, ἧς με δεῖξον κάτοχον πρεσβείαις σου.

Νουνεχῶς πεπολίτευσαι, φέρων πρὸ ὀμμάτων σου τὸν Ἀόρατον, Ὃν παρόντα δὸς αἰσθάνεσθαι, τοὺς ἐν πίστει Πάτερ ἱκετεύοντας.

*Θεοτοκίον*

Ὥραν ἔχων τῆς Κρίσεως, ἐν τῇ διανοίᾳ μου Μῆτερ δέδοικα, διὸ πρέσβιν Σε προβάλλομαι, ἵνα τῆς κολάσεως λυτρώσῃς με.

*Ὠιδὴ ε'. Φώτισον ἡμᾶς.*

Σώματος ὁρμάς, ὡς θηρία καθυπέταξας, τῷ Κυρίῳ τῇ δυνάμει τῆς εὐχῆς, ἣν χορήγει, τοῖς τιμῶσι πόθῳ ὦ Ὀνούφριε.

Ὄμβρισον ἡμῖν, οὐρανόθεν Πάτερ ὅσιε, τὰς χριστοδώρους ἀρετὰς ταῖς σαῖς εὐχαῖς, καὶ στερέου, πρὸς καρποφορίαν τὴν σωτήριον.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Νέωσον καλῶς, τὸν ἀγρὸν τῆς διανοίας μου, ὁ ἐν ἐρήμῳ γεωργήσας σὴν ψυχήν, Πάτερ θεῖε, καὶ ἀκάνθας πάσας ἀποῤῥίζωσον.

*Θεοτοκίον*

Ὄρος σκιερόν, τὰς ψυχὰς πιστῶν σκιάζουσα, ἀπὸ πάσης προσβολῆς τοῦ πονηροῦ, σκέπασόν με, καταπειραζόμενον Θεόνυμφε.

*ᾨδὴ ϛ'. Τὴν δέησιν ἐκχεῶ.*

Νεκρώσεως, τὸν χιτῶνα ὅσιε, ἀπεβάλου νεκρωθεὶς κατὰ κόσμον, καὶ Ἰησοῦ, ζωηρὸν ἐνεδύθης, ἀθανασίας τὸ πάμφωτον ἔνδυμα, ὃ δίδου πάτερ καὶ ἡμῖν, τοῖς αἰτοῦσί σε θεῖε Ὀνούφριε.

Ὀνούφριε, φοῖνιξ θεῖος γέγονας, ποτιζόμενος τῆς χάριτος ῥείθροις, καὶ τὸν καρπόν, ἐκβοτρύσας πλουσίως, τοῖς φιλοσίοις προτίθης ἐντρύφημα, μεθ᾽ ὧν ἀξίωσον κἀμέ, ἀπολαύειν σοῦ δείπνου ἀείποτε.

Ὑπέβαλες, σεαυτὸν Ὀνούφριε, εἰς μαρτύριον δεινὸν καθ᾽ ἑκάστην, εἰδὼς καλῶς, ὅτι αἵματι μόνον, ἀντεξωνεῖται τὸ Πνεῦμα τὸ Ἅγιον, οὗ πλήρωσον πᾶσαν ψυχήν, φιλοσίως σε πάτερ θαυμάζουσαν.

*Θεοτοκίον*

Φθειρόμενον, τοῖς τοῦ βίου πράγμασι, καὶ ματαίοις ἐμπλεκόμενον Μῆτερ, ἐκδυσωπῶ, ὡς ἰχθὺν ἐξ ἀρκύων, Σὺ μητρικῶς ἐλευθέρωσον τάχιστα, καὶ νοῦν προσήλωσον Χριστῷ, Ὃς ἐστὶν ἐφετῶν τὸ ἀκρότατον.

Διάσωσον, σοὺς ὑμνητὰς Ὀνούφριε πάτερ, ἀπὸ πάσης ψυχοφθόρου ἐπιβουλῆς τοῦ ἐχθροῦ, καὶ λύτρωσαι τάχει ἡμᾶς ταῖς ὁσίαις εὐχαῖς σου.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν χριστιανῶν.*

Μοναστῶν ὑποτύπωσις ἔνθεος, καὶ πιστῶν θαυμαστὸν ἐγκαλλώπισμα, ἀνεδείχθης, ὦ ἀσκητῶν ἀκρότης καὶ τρυφή, διό, πρέσβευε διηνεκῶς, τῷ Ἰησοῦ τῷ ἀγαθῷ, ὑπὲρ ὅσοι τιμῶσί σε· οἶδας γὰρ τοῦ βελίαρ, πάγας καὶ πλάνας πάτερ, ἐξ ὧν εὐχαῖς σου λύτρωσαι ἡμᾶς, θεοφόρε Ὀνούφριε.

Προκείμενον. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Στίχος. Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν.

## ΕΥΑΓΓΕΛΙΟΝ

*Ἐκ τοῦ κατὰ Ματθαῖον*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰ μὴ ὁ Πατήρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς καὶ μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι.

*Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.*
*Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Στίχ. *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

*καὶ τὸ προσόμοιον.*

Ἦχος πλ.β'. Ὅλην ἀποθέμενοι.

Ἔρημον ὑπάρχουσαν, ἐξ ἀρετῶν τὴν ψυχήν μου, πάντιμε Ὀνούφριε, τῆς ἐρήμου καύχημα καὶ θησαύρισμα, πατρικῶς πρόφθασον, καὶ χορήγει δρόσον, τὴν τοῦ Πνεύματος πρεσβείαις σου, ἵνα τὸν καύσωνα, παύσῃ τῶν παθῶν τὸν ψυχώλεθρον, βλαστήσωσι δὲ σπέρματα, ἄνθη χριστοποίκιλτα χάριτος, ὅπως τῷ Δεσπότῃ, ὀφθήσωμαι ἐν ὥρᾳ τῇ φρικτῇ, εὐελπιστῶν ὁ ταλαίπωρος, καὶ μὴ κολασθήσωμαι.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου κλπ.*

*Ὠιδὴ ζ'. Παῖδες ἑβραίων.*

Ῥείθροις τῆς χάριτος Κυρίου, κατεδρόσιζες ψυχήν σου ἐν ἐρήμῳ, ἑνωθεὶς τῇ ψυχῇ, ἀδιαστάτως Πάτερ, Αὐτῷ Ὧι με συντήρησον, ἡνωμένον ταῖς εὐχαῖς σου.

Ἴδιον οὐκ ἐκτήσω ἄλλο, εἰ μὴ φύλλινον, περίζωσμα ὀσφύος, γυμνωθεὶς ἑκοντί, ὡς ἐφευρὼν τὸν πλοῦτον, Ὀνούφριε ἀσύλητον, οὗ με δεῖξον κληρονόμον.

Ἔστης τυπτόμενος ὡς ἄκμων, μόνος Ὅσιε, ἐν πειρασμοῖς ποικίλοις, παραδοὺς τῷ Χριστῷ, τὸ σῶμα καὶ ψυχήν σου, ἐν προσμονῇ λαμπρότητος, γλυκυτάτου Παραδείσου.

*Θεοτοκίον*

Ἔχων τὸ φρόνημα ψυχῆς μου, ἀταπείνωτον, οὐ δύναμαι Παρθένε, εἰσελθεῖν τὴν στενήν, τῆς Βασιλείας πύλην, διὸ καθικετεύω σε, ταπεινώσει πλούτισόν με.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ὠιδὴ η'. Τὸν ἐν ὄρει ἁγίῳ.*

Χάρισαί μοι, Ὀνούφριε τρισμάκαρ, τὸ ἀσάλευτον, ἐν τρικυμίαις βίου, ἀφανίζων ταχύ, ἀνυπομονησίαν, καὶ ἄγκυραν ἐλπίδος μοι, χορηγῶν εἰς σωτηρίαν.

Θρόνος ἔφυς, θεότητος ἀσκήσει, ὦ Ὀνούφριε, πληθὺν ἔχων ὀμμάτων, οἷς ὁρῶν καθαρῶς, τὰ κάλλη Βασιλείας, τὰ ἅπασι παμπόθητα, ὧν ἀξίωσόν με πάτερ.

Ῥῦσαι πάτερ, Ὀνούφριε χριστόφρον, πάσης θλίψεως, τοὺς πόθῳ σε τιμῶντας, σὺ γὰρ οἶσθα καλῶς, τοῦ δαίμονος παγίδας, καὶ πειρασμῶν δυσβάστακτον, ἄνευ χάριτος Κυρίου.

*Θεοτοκίον*

Ὢ! τοῦ βάθους, ἐμῆς παραφροσύνης, Παναμώμητε, Χριστοῦ με μακρυνούσης· καὶ γὰρ πάσχω Ἁγνή, ὡς πλησμονῶν τῇ γνώσει, μὴ πράττων δὲ τὸ θέλημα, τοῦ Θεοῦ δι᾽ ἀστασίαν.

*Ὠιδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ.*

Νικήσας τὰ θηρία τῶν ἐμπαθῶν, τῆς ψυχῆς κινημάτων Ὀνούφριε, ὡς κηδευτάς, δύο ἔσχες λέοντας φοβερούς, δεικνύντας ὕψος χάριτος, ἧς περ ἠξιώθης παρὰ Θεοῦ, διὸ καθικετεύω, θηρία τῶν παθῶν μου, σαῖς προσευχαῖς καλῶς κατεύνασον.

Μὴ ἔχων τὴν φροντίδα ζωοτροφῆς, σοῦ ἐκήδετο Κύριος Ὅσιε, ἄρτους διδούς, καὶ τῶν μυστηρίων τῶν ἱερῶν, μετάληψιν παρέχων σοι, δι᾽ ἐπιστασίας ἀγγελικῆς· ὅθεν μερίμνης βίου, ἀπάλλαξον βοῶ σοι, τῆς σκοτιζούσης μου διάνοιαν.

Ὀνούφριε χριστόληπτε ἀσκητά, τῆς ἐρήμου καλλίκαρπον βλάστημα, τῶν μοναστῶν, κέντρον θεοπύρσευτον καὶ γλυκύ,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἀνάστησόν με κείμενον, ἐκ τῆς ἀμελείας μου τῆς πολλῆς, καὶ ἐφεξῆς δουλεύειν, ἀξίωσόν με πάτερ, Χριστῷ ἐξ ὅλης τῆς καρδίας μου.

Ὑψόθεν μοι κατάπεμψον γλυκασμόν, πατρικῶν σου εὐχῶν ὦ φιλότεκνε, ἵνα καλῶς, βίον διανύσω ἀσκητικόν, μιμούμενος τὰς πράξεις σου, ὅσον ἀσθενείᾳ μου δυνατόν, καὶ εὕρω τὸν Δεσπότην, ἐν ὥρᾳ τοῦ θανάτου, κριτὴν φιλάνθρωπον Ὀνούφριε.

*Θεοτοκίον*

Ἀνάξιον ἐποίησα ἐμαυτόν, θείας κλήσεως Μῆτερ Πανάχραντε, καταχρανθείς, μώλωψι παντοίων ἁμαρτιῶν, καὶ κεῖμαι πτῶμα ἄθλιον, βρῶμα ὁδοστάταις τοῖς νοεροῖς· διό Σε ἱκετεύω, ἀνάστησον εὐχαῖς με, τὸν Ἰησοῦν παραπικράναντα.

*Ἄξιόν ἐστι... καὶ τὰ*

*Μεγαλυνάρια*

Χαίροις τῆς Αἰγύπτου θεῖος πυρσός, Ὀνούφριε πάτερ, νομοστάθμη ἡσυχαστῶν, χαίροις ὡς γλυκαίνων, καρδίας μοναζόντων, καὶ γόνατα στηρίζων, τῷ θείῳ βίῳ σου.

Πάντας τοὺς τιμῶντάς σε εὐλαβῶς, οὐρανόθεν Πάτερ, κατευλόγει διηνεκῶς, πειρασμῶν παντοίων, λυτρούμενος τοῦ πλάνου, καὶ τῷ Χριστῷ συνάπτων, ταῖς ἱκεσίαις σου.

Ἔρημον οἰκήσας ἀπὸ παιδός, ταύτην καρποφόρον, ἐναπέδειξας τῷ Χριστῷ, ὅθεν ἔρημόν με, τῶν ἀρετῶν τῶν θείων, Ὀνούφριε εὐλόγει, εἰς καρποφόρησιν.

*διὰ τοὺς Ὀνουφριωνύμους εἰδικόν*

Τὴν σεπτήν σου κλῆσιν ὁμωνυμῶν, δέομαί σου Πάτερ, οἶκον ποίησον ἀρετῶν, ὧν ἐν τῇ ἐρήμῳ, μετέσχες παμπλουσίως, καὶ κληρονόμον δεῖξον, τῆς θείας δόξης σου.

*Πᾶσαι τῶν Ἀγγέλων....*

*Τρισάγιον κλπ.*

*Εἰς τὴν ἀπόλυσιν. Στιχηρὸν προσόμοιον.*
*Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε.*

Χαίροις τῆς ἐρήμου πολιστά, ἄκρας ἡσυχίας ὁ στύλος, πάτερ Ὀνούφριε, χαίροις καὶ ἱκέτευε ὑπὲρ ἡμῶν τὸν Χριστόν, ὅπως δῷ ἀκατάσειστον, εἰρήνην καρδίας, καὶ τειχίσῃ χάριτι, τοῦ θείου Πνεύματος, πάντας τοὺς πιστῶς αἰτουμένους, σὰς πανευπροσδέκτους δεήσεις, καὶ τὰς ἱκεσίας ὁσιώτατε.

*Δέσποινα πρόσδεξαι.*
*Τὴν πᾶσαν ἐλπίδα μου.*

Δι᾽ εὐχῶν.

Στίχοι

*Νηπιοχριστόδωρε ἐρήμου κλέος,*
*Δεῖξον με παθῶν ἔρημον ταῖς εὐχαῖς σου.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ